# Παράκληση Αγίου Ιακώβου του Αδελφοθέου




Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χείρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψης τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου,

ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾖ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἒξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Θεαδέλφου Ιακώβου τὴν μνήμην, νῦν ἐκτελοῦντες Χριστωνύμων χορεῖαι, ταῖς πρὸς Χριστὸν αἰτούμεθα δεήσεσι, δι’ ἀγάπην ῥεύσαντος, ὑπὲρ πίστεως αἷμα, καθὼς εὐπαῤῥησίαστος, πρεσβευτὴς ἐστὶν ὄντως· διὸ βοήσωμεν αὐτῷ τρανῶς· ἐν ὥρᾳ δίκης, ἡμῶν πάντων μνήσθητι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Θεάδελφε Ἰάκωβε, δέξαι ὕμνον. Γεωργίου.*

*ᾨδὴ α´. Ἦχος πλ. Δ´. Ὑγρὰν διοδεύσας.*

Θεὸν ἐκδυσώπει ὑπὲρ ἡμῶν, Ἰάκωβε μάκαρ, ὁ μερίδα σου δοὺς Αὐτῷ, τῶν σὲ ἀνυμνούντων ἐπαξίως, ποίμνης ἀμνῶν δεξιοῖς ἀριθμήσασθαι.

Ἐλθὲ εἰς βοήθειαν τῶν πιστῶν, τιμώντων ε Πάτερ, τῆς Σιῶνος Ἀρχιερεῦ, ὡς πρώτιστος ταύτης Ἱέραρχης, καὶ ἐξ ἀνάγκης ἡμᾶς ἐλευθέρωσον.

Ἀπόστολε πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν ὑμνούντων, σὲ ὡς δίκαιον ἄνδρα νῦν, ὁ αἷμα Ἰάκωβε ἐκχύσας, Ἱερομάρτυς Κυρίου δεικνύμενος.

*Θεοτοκίον.*

Δεινῶν με ἀπάλλαξον χαλεπῶν, καὶ θανατηφόρου, ἀσθενείας σαρκὸς Ἁγνή, παθῶν ψυχικῶν τῶν ὀλεθρίων, ὅπως ἐν ὕμνοις ἀεὶ μακαρίζω Σε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐπηρείας δαιμόνων ἡμᾶς ἀπολύτρωσαι, τοὺς Θεάδελφε τοῦ Κυρίου ᾠδαῖς τιμῶντάς σε, σὺ γὰρ πιστῶς ἐκ Χριστοῦ, ἀπείληφας ἐξουσίαν, ἀπελαύνειν πνεύματα, θεομακάριστε.

Λοιμικῶν νοσημάτων ταχὺ ἡμᾶς ἴασαι, τοὺς ἁπανταχοῦ τοὺς σοὺς πόνους, πόθῳ κηρύττοντας, ὅτι ἐδόθη σοφέ, σοὶ ἐκ Θεοῦ θεία χάρις, καὶ ψυχῆς θεράπευσον, πάντων τὰ τραύματα.

Φιλαυτίας κακίας καὶ μιαρῶν πράξεων, ῥῦσαί με πιστῶς σοὶ κραυγάζω· μῦστα Ἀπόστολε, ὁ διδαχθεὶς ἐκ Χριστοῦ, ἣν πρῶτος ἔγραψας θείαν, λειτουργίαν ἅπαντας, καθαγιάζουσαν.

*Θεοτοκίον.*

Εὐμενέσι πρεσβείαις ὑπὲρ ἡμῶν πρόσδεξαι, Λόγε τοῦ Θεοῦ τῆς Μητρός Σου, καὶ δὸς ἀμείμονα, παραγγελμάτων δ’ Αὐτοῦ, μὴ ἐπιλήσμονες εἶναι, πάντες οἱ τιμῶντές Σε, γένους τὴν σώτειρα.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεοκῆρυξ Ἰάκωβε ἐν εὐήχοις ᾄσμασι, σὺ γὰρ εἶ, αὐτάδελφος Θεοῦ ζῶντος.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Σὺ κήρυξ θερμὸς ἀνεδείχθης Ἰάκωβε, Χριστοῦ ἀδελφός, πανεύφημε Ἀπόστολε· διὸ πάντας πρόσδεξαι, τοὺς πιστῶς σοι μάκαρ προστρέχοντας, φωτὸς χαρίτων δ’ ἔμπλησον ἡμᾶς, καθὼς ἀστὴρ εἶ θεολαμπέστατος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἰακώβου δεήσεσι, πρόσδεξαι ἐνθέρμοις Σωτὴρ φιλάνθρωπε, καὶ δὸς πᾶσι τὰ εὐφρόσυνα, τὴν ὁδὸν δεικνύων τὴν σωτήριον.

Ἀθλητὰ παναοίδιμε, λίθοις ἀνηρέθης ὅτι διήλεγξας, Ἰουδαίων τὴν ἀσέβειαν,

ἴθυνον ἡμᾶς νῦν πρὸς εὐσέβειαν.

Κλέος ἔνθεον γέγονας, ὁ διὰ ἀγάπην Χριστοῦ καὶ θάνατον, ὑπομείνας ἱερώτατε· διὸ πόθον σου πιστοῖς ἐμφύτευσον.

*Θεοτοκίον.*

Ὢ ἁγνὴ ἐσωμάτωσας, Λόγον ἐκ λαγόνων Σου τὸν ὑπέρθεον, Ὃν δυσώπει ἡμᾶς ῥύσασθαι, ἐκ πυρὸς ἀσβέστου τῆς κολάσεως.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Βλέψον πρὸς ἡμᾶς, ἱλαρῷ σοὶ μάκαρ ὄμματι, ὅτι ἔχεις παῤῥησίαν πρὸς Χριστόν, ὡς θείος Τούτου Μαθητής τε καὶ Θεάδελφος.

Ἕλκυσον ἡμᾶς, τῷ ἀγκίστρῳ τῆς σαγήνης σου, ὡς σοφὸς ἔμπειρος ἁλιεύς, καὶ πρὸς βίον μετανοίας καθοδήγησον.

Δὸς τοῖς σὲ πιστῶς, ἀνυμνοῦσι Ἀδελφόθεε, ἐν ψαλμοῖς ψυχῆς τὰ κρείττω καὶ δεινάς, ἴασαι νόσους, τῇ ταχείᾳ ἀντιλήψει σου.

*Θεοτοκίον.*

Ἔπαυσας ἁγνή, Προπατόρων τὸ κατάκριμα, τοὺς τὸν πάντας δικαιώσαντα σαρκὶ Χριστὸν τεκοῦσα, Ὃν ὑπὲρ ἡμῶν δυσώπησον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ξοάνων, βδελυρὰν πλάνην σκόρπισον, καὶ πρὸς Φῶς θεολαμπές, ἡμᾶς ἄγε πᾶσι σοφέ, τὸ στεῤῥόν σου παράσχου, ἵν’ ὡς Ἰώβ, τὰ δεινὰ ὑπενέγκωμεν, ἐκφύγωμεν βέλη δ’ ἐχθροῦ ἰοβόλα, προστάτης δεικνύμενος.

Ἀμίσθως, τὰ ἀλγεινὰ νοσήματα, θεραπεύεις τῷ ἁγίῳ ἐλαίῳ, τὰς λυπηρὰς καταστάσεις μακρύνεις, καὶ πειρασμοὺς ἀπελαύνεις Ἀπόστολε, μακρὰν ἀπὸ τῶν ψαλμικῶς, ἀνυμνούντων τὴν ἔνδοξον μνήμην σου.

Ἱκέτευε, Ἰησοῦν Ἰάκωβε, ἡμῖν δοῦναι τὴν ὀφλὴν ἐγκλημάτων· ὅτι Αὐτῷ παῤῥησίαν μεγάλην, ὡς Μαθητὴς καὶ Θεάδελφος κέκτησαι, καὶ μνήσθητι ὥρᾳ φρικτῇ, ἡμῶν πάντων πιστῶς ἀνυμνούντων σε.

*Θεοτοκίον.*

Ὑπῆρξας, τὸ καθαρώτατον κρίνον, ἐν κοιλᾶσι παρθενίας τὸ ῥόδον, τὸ πανευῶδες ὀσφράδιον Κόρη, ὃ Ποιητής, πρὸς κατοίκησιν εἵλετο, τὴν μήτραν Σου καὶ σαρκωθείς, εὐῳδίας τὰ πάντα ἐπλήρωσε.

Διάσωσον, ἐκ πάσης βλάβης καὶ νόσων τοὺς σὲ τιμῶντας, θεοκῆρυξ Ἰάκωβε ἐν εὐήχοις ᾄσμασι, σὺ γὰρ εἶ, αὐτάδελφος Θεοῦ ζῶντος.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β´. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτωρ πενήτων ὑπῆρξας πανάριστος· διὸ πρέσβυς γενοῦ, πρὸς Θεὸν ἡμῶν ἔνθερμος, τῆς Σιωνίτιδος Ἐκκλησίας πρώτιστε ποιμήν, καὶ νῦν τάχυνον ὡς συμπαθής, τοῦ βοηθῆσαι γηγενεῖς, μετὰ πόθου βοῶντάς σοι· ἴασιν δὸς νοσοῦσιν, ἐκλύτρωσαι δαιμονῶντας, καὶ πάντας τήρει ἀβλαβεῖς, ἐκ κακώσεων Ἰάκωβε.

Προκείμενον: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ*

Στ.: *Οἱ οὐρανοῖ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.*

*Εὐαγγέλιον, Ἀποστολικόν*

Δόξα: *Ταῖς τοῦ Ἀποστόλου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μὴ οὖν ἀποῤῥίψῃς με, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄσωτον, σὲ νῦν καταφεύγοντα, ὦ Ἰάκωβε Ἅγιε, σῶσόν με πιστῶς προσπίπτοντα, τῇ μορφῇ σου κατασπάσασθαι, ἴασιν ἄμφω δὸς τάχιστα, καὶ ῥῦσαι κακώσεων, θλίψεων ἐξαιρούμενον, καὶ τῶν δυσμενῶν συμφορῶν τοῦ βίου, ἵνα μεγαλύνω τὴν μνήμην, ἀρετὰς καὶ θαυμαστά, ἃ κατεργάζῃ Ἀπόστολε· χαίροις οὖν φθεγγόμενος.

*Ὠδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μακαρίαν σὴν μνήμην ἐκτελοῦντας ἐν πίστει ἱερομῦστα σοφέ, αἰτούμεθα λιταῖς σου, κολάσεως ῥυσθῆναι, οἱ ἀπαύστως κραυγάζοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νοσήματα ἰᾶσαι, ὡς εἰληφὼς τὴν χάριν, κατὰ παθῶν ἐκ Χριστοῦ· διὸ τοὺς σὲ τιμῶντας Ἰάκωβε, ἐν ὕμνοις πειρασμῶν ἐλευθέρωσον, ἀσθενειῶν χαλεπῶν, ψυχῆς τε μολυσμάτων.

Ὁ Μαθητής Σου Λόγε τοῦ Ἰωσὴφ ὁ γόνος, πρὸς σὲ μετήχθη λαμπρῶς, ὡς Ἀθλητὴς καὶ Μάρτυς, τῆς ἀρχιερωσύνης, καταρδεύων ταῖς χάρισι, τοὺς ἀνυμνοῦντας αὐτόν, θερμῶς ἡμῖν πρεσβεύων.

*Θεοτοκίον.*

Νύξ με τῆς ἀμελείας συνέχει καὶ καλύπτει ἁμαρτημάτων βυθός, ἀλλὰ Φῶς ἡ τεκοῦσα, πρὸς γένους σωτηρία, σπεῦσον τάχει αὐγᾶσαί μου, φρένα ςκαρδίαν ψυχήν, τὸ ἐρεβῶδες σκότος.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γάννυται μέγα, πλῆθος ἐν σοὶ ὀρθοδόξων, καὶ Χριστῷ βοᾷ ἐν εὐφροσύνῃ· σῶσον ἡμᾶς Σῶτερ, εὐχαῖς Ἀδελφοθέου.

Ἐλέους θείου, καὶ δωρεῶν ἡμᾶς πλῆσον, ταπεινῶς φρονεῖν ἵν’ ἀνυμνοῦμν, σὲ πρωθιεράρχα, τῶν Ἱεροσολύμων.

Ὤφθης πολλάκις, μάκαρ πιστοὺς περισκέπων, ὡς τοῦ Λόγου μύστης καὶ ἀκέστωρ· ὅθεν ἡμᾶς ῥῦσαι, ἐκ θλίψεων καὶ νόσων.

*Θεοτοκίον.*

Ῥῦσαι γεέννης, τῶν οὐρανῶν πλατυτέρα, καὶ βροτῶν ἁγνὴ ἁγιωτέρα, πάντας τοὺς ὑμνοῦντας, τὴν Σὴν κηδεμονίαν.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον παράσχου, Ἀπόστολε βίον, πᾶσιν ἡμῖν ἱερεῦσι καὶ δούλοις Χριστοῦ, καὶ ἐξελοῦ λαὸν Τούτου, βλάβης αἱρέσεων.

Ἱκέτευε Σωτῆρα, ἵαν ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ ἡμᾶς Μαθητά, τοὺς θείαν μνήμην Θεάδελφε, ἑορτάζοντας.

Ὁ τὴν χειροτονίαν, λαβὼν ἐκ Δεσπότου., δὸς ἡμῖν πονηροῦ φεύγειν παγίδων δεσμά, καὶ ἔσο πρόμαχος πάντων, τῶν εὐφημούντων σε.

*Θεοτοκίον.*

Ὑψίστου χρυσοῦς Θρόνος, πέλεις Σὺ ἐν πόλῳ· διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῆ Θεοτόκον ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Νόσους ἀποδίωξον λοιμικάς, ἀφ’ ἡμῶν καὶ πάθη, ἱερώτατε Ἀθλητά, σαῖς θερμαῖς πρεσβείαις, Χριστὸν καθικετεύων, τῶν θλίψεων δὲ νέφη, τάχει διάλυσον.

Βάλσαμον οἱ λόγοι σου τοῖς λαοῖς, Ἰάκωβε θεῖε, ἐγεγόνησαν ἀληθῶς, ὡς τοὺς ἀσθενοῦντας, ἰᾶτο ἡ σκιά σου, οὕτω τοὺς νῦν νοσοῦντας, σπεῦσον ἰάσασθαι.

Εὔχου ἀρχιθῦτα δοῦναι ὀφλήν, τῶν ἡμῶν πταισμάτων, ὁ δοξάσας σε Ἰησοῦς, οὗ τοὔνομα μέγα, ἐτράνωσας καὶ πίστιν, ἀφόβως Ἰουδαίοις, καθομολόγησας.

Δὸς ἡμῖν ἀμείνονα σαῖς λιταῖς, Χριστοῦ τὴν εἰρήνην, Ἱεράρχα καὶ τὴν χαράν, ἱλασμὸν πταισμάτων, ταπείνωσιν ἀγάπην, φόβον Θεοῦ σὺν πίστει, βίου διόρθωσιν.

Ποίει ποίμνης γαίας Ἑλληνικῆς, σαῖς θερμαῖς πρεσβείαις, εἶναι ἄμπελον τοῦ Χριστοῦ, ἵν’ ἀεὶ τιμᾷ σε, Ἰάκωβε ἐν ὕμνοις, πρὸς τρίβον μετανοίας, ἰθύνων ἕκαστον.

Θραῦσον τὰ φρυάγματα τῶν ἐθνῶν, ἔπαρσιν βελίαρ, καὶ αἱρέσεων ἀπειλάς, Ἱεροσολύμων, πρώτιστε ποιμενάρχα, φρουρῶν τοὺς Ὀρθοδόξους, ἐκ περιστάσεων.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πέλεις, Ὀρθοδόξων ὁδηγός, τεῖχος ὀχυρὸν ἀντιλήπτωρ, καὶ τῶν πτωχῶν ἀρωγός, ὦ σεπτὲ Ἰάκωβε, πρωθιεράρχα Χριστοῦ, τῆς Σιῶνος τὸ καύχημα, πιστῶν ὁ προστάτης, Ἀθλητῶν ἀγλάϊσμα, Ἱεραρχῶν ἡ τρυφή· ὅθεν δίδου πᾶσι τὰ κρείττω, σώζων ἐκ φθορᾶς νοσημάτων, καὶ δεινῶν τοὺς μνήμην σου γεραίροντας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*